Ακαδημία Αθηνών / Academy of Athens

Legrand, Bibl. Hell. XV-XVI, 4, σ. 62

Βεργίκιος
Ἄγγελος

Ὑπὸ τοῦ Legrand περιγράφοντος, ἀφ' ἀντιτ. (ἀρ. 582) τὸ βιβλίον ὑπὸ τίτλον « Plutarchi libellus de FLUVIORUM ET MONTIUM ... Parisiis ... MDLVI », ἐκδίδεται (ἐκ τοῦ Cod. Paris. latin. 10327, f. 123r et 124v) ἡ κάτωθι ἐπιστολὴ τοῦ Ἀγγέλου Βεργικίου († 1564), πρὸς τὸν Henri de Mesmes.

« Τῷ μεγαλοπρεπεστάτῳ καὶ ἐνδοξοτάτῳ σοφωτάτῳ τε Ἑρρίκῳ τῷ Μεμμονίῳ καὶ μαγίστρῳ τῶν δεήσεων τοῦ βασιλέως.*

Τὴν πολυάρεκτον καὶ πολύευκτόν σου ἐπιστολὴν σήμερον ἀνὰ χεῖρας παρὰ

* κατὰ Legrand, « Henri de Mesmes, maître de requêtes du Roi ».

./.

τοῦ σοῦ οἰκέτου λαβών, κράτιστέ τε καὶ μεγαλοπρεπέστατε ἄνερ, ὅλος ἥσθην καὶ περιχαρὴς γέγονα, τῶν καλῶν ἀγγελιῶν καὶ τῆς σῆς ὑγείας ἕνεκα· ἐτύγχανον γὰρ ὄντως ἐκ πολλοῦ τούτων ἐφιέμενος. Εἰδὼς δ᾽ ἐν αὐτῇ τὸν κόπον καὶ τὴν δυσχέρειαν ἣν ἔλαβες καὶ λαμβάνεις ἑκάστοτε δι᾽ ἐμέ, τῷ ὄντι λελύπημαι ἐπὶ τῷ σὲ τιμωρεῖσθαι τοσοῦτον, ἀλλ᾽ οὖν εὐχαριστοῦμεν καὶ ὁμολογοῦμεν σοι χάριτας ὅτι πλήστας καὶ ὁμολογήσομέν σοι ἀλήκτως ἄχρις ἂν τῶν τοῦ βίου τούτου ἀπολυθῶμεν δεσμῶν. Περὶ δὲ τῶν ἄλλων ἃ γράφων ἀπαγγέλης [sic] ἡμῖν, κοινολογίαν ὁμοῦ ποιήσομεν, σοῦ τῇδε ἐπανελθόντος, ὡς φῄς, ἐν βραχύ, ἢν θεὸς δῷ. Ἡ γὰρ τοῦ καιροῦ ὀξύτης, οὐ συγχωρεῖν (sic) μοι γράφειν ἁπλούστερον τουτωνὶ κατὰ τὸ παρόν, ἢ μόνον γε τοῦτο, χεὶρ χεῖρα νίπτει καὶ δάκτυλος δάκτυλον. Καὶ ταῦτα μὲν πρὸς εἰδότα ἅλις, τὰ δὲ λοιπὰ συνίστημί σοι ἀεὶ καὶ εὔχει ἐπιμελόμενος τῆς ὑγείας σου.

Ἐν Παρισίᾳ αῳ φῳ ξδῳ σεπτεμβρίου 13ῃ. Ὁ σὸς θεράπων καὶ ἱκέτης

»«Ἄγγελος ὁ Βεργίκιος ὁ Κρής.»»